τοῖς κατὰ πρόσθεσιν καὶ τοῖς ὅλην, ὥς φησιν ὁ ἀπόστολος :–

αἱ ἑπτὰ ἡλικίαι τοῦ ἀνθρώπου :·

Πρώτην ἡμέραν, τὴν τοῦ βρέφους· ἵνα αὐθις φωτισθῇς τὰ γράμματα· καὶ γὰρ τὸ φῶς, τῇ πρώτῃ ἐγένετο. Τὴν δευτέραν ἡμέραν, τὴν τοῦ παιδίου ἡλικίαν, ἵνα στερεωθῇς τοῖς ὀρθοῖς λόγοις· καὶ γὰρ τὸ στερέωμα τῇ β΄ ἐγένετο. Τρίτην, τὴν μειρακίου, ἵνα τὴν ψυχὴν ξηραίνῃς τὴν ὑγρότητα τῶν παθῶν· καὶ γὰρ τῇ τρίτῃ ὁ θεός, τὴν ξηρὰν ἀπὸ τῆς ὑγρᾶς διέκρινε. Τὴν δὲ τετάρτην, τοῦ νεανίσκου, τὰς τέσσαρας ἀρετὰς ἀρετοφορῶν, καὶ ὡς φωστὴρ ἐν κόσμῳ φαινόμενος· καὶ γὰρ οἱ φωστῆρες τῇ τετάρτῃ ἐγένοντο. Τὴν πέμπτην ἡλικίαν, τὴν τοῦ μεσοπολίου, τὰ ἀπὸ σοῦ ζῶα τῶν αἰσθήσεων ἐξάγων, ἵνα μὴ εἰς ἁμαρτίαν ζωή· καὶ γὰρ τὰ ζῶα τῇ ε΄ ἐγένοντο :· Τὴν ς΄ τοῦ πρεσβύτου, τὴν ἐξ ἀρχῆς ἀνάμνησιν, λόγῳ ὡς αὐτὸς ἀναφθεγγόμενος. καὶ πλὴν τοῦ ἀνθρώπου παλαιὸν καὶ ἐνθυμιζῶν ταῖς ἀρεταῖς ἐν τῇ ἕκτῃ ὁ αὐτὸς ἔπλασε. Τὴν ἑβδόμην, τὴν τοῦ γέροντος πεπολιωμένου πολιτείαν. οὐκ ἀργία ἀναπαυόμενος ἐν τῇ δ... ὥσπερ λαμπαδηφόρος ἀρχαῖος, καὶ ὡς ... ἀπελθὼν εἰς τὸν τάφον, ἢ τὸ κοινὸν συγκομιζόμενος· καὶ ὡς ἐν τῇ ἑβδόμῃ ἀναπαυόμενος· καὶ γὰρ τῇ ἑβδόμῃ ὁ θεὸς ἀπὸ τῶν ἔργων αὐτοῦ τῶν ἀληθινῶν κατέπαυσεν ἐν τῷ τάφῳ. Τὴν ὀγδόην λοιπὸν περίμενε, τὴν ἀπὸ τῆς σκηνῆς ἔξοδον· καὶ τὴν ἀπὸ τοῦ τάφου ἀναχώρησιν· καὶ γὰρ τῇ ὀγδόῃ ἐκ νεκρῶν ἀνέστη ὁ κύριος. Τί ἡ ὀγδόη καὶ ἡ μακρὰ ἔξοδος; πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ. καὶ διὰ τοῦτο τῇ ὀγδόῃ λουτρὸν καὶ θυσίαν προσφέρειν ἐκέλευσεν. ἐπειδὴ ἡ ὀγδόη τὴν ἀνάστασιν τῶν νεκρῶν ἐνδείκνυσι. τὸ δὲ τῇ ἀναστάσει τῶν νεκρῶν, ἢ θυσίαν ἢ λουτρόν, εἰς προσφορὰν ὑπὲρ ἁμαρτιῶν ἀφέσεως.